διάθεσις τοῦ τελείου πρὸς τὸ ἄριστον· τέλειον δὲ λέγω ὃ κατὰ φύσιν διάκειται, ὡς ἐν ἑβδόμῳ τῶν φυσικῶν· πάθος δέ ἐστιν ἑκάστου τὸ μὴ διάκεισθαι κατὰ τὴν αὐτοῦ φύσιν· ἀντίκειται δὲ τῇ ἀρετῇ κατὰ τὸ πρὸς ὅ ἐστιν αὕτη, ἤγουν καθὸ πρακτική ἐστι τοῦ ἀγαθοῦ, ἡ ἁμαρτία, ἄτακτον ἐνέργειαν σημαίνουσα· κατὰ δὲ τὸ ἑπόμενον τῇ οὐσίᾳ αὐτῆς, ἡ πονηρία ἀντίκειται ἀγαθότητί τινι, οὔσῃ ἑπομένως.

2. Δεύτερον, ὅτι τὸ πάθος παρὰ φύσιν ἐστὶν οὐ καθὸ τὸ παρὰ τὴν φύσιν ἀντίκειται τῷ παρὰ τῆς φύσεως, ἀλλὰ καθὸ τῷ κατὰ τὴν φύσιν ἀντίκειται, ὃν τρόπον αἱ ἀρεταὶ κατὰ φύσιν λέγονται, καθ' ὃ ῥέπειν ποιοῦσιν ἐπὶ τὸ οἰκεῖον τῇ φύσει.

3. Τρίτον, ὅτι τὸ πάθος, εἴτουν ἡ πονηρὰ ἕξις, οὐκ ἔστι χεῖρον τοῦ ἁμαρτήματος· οὐ γὰρ διὰ τὸ πάθος τις κολάζεται, ἀλλὰ διὰ τὴν ἐμπαθῆ πρᾶξιν.

4. Τέταρτον, ὅτι ἡ ἐμπαθὴς ἐνέργεια, εἴτουν ἡ ἁμαρτία, δύναται εἶναι ἅμα μετὰ τῆς ἀρετῆς· ὡς γὰρ φησὶν ὁ Φιλόσοφος ἐν δευτέρῳ τῶν ἠθικῶν, ἡ ἀρετὴ διὰ τῶν ἐναντίων καὶ γίνεται καὶ φθείρεται· μία δὲ ἐνάρετος πρᾶξις οὐκ ἔστιν αἰτία ἀρετῆς· οὐδ' ἄρα μία ἐνέργεια ἁμαρτήματος ἀναιρεῖ τὴν ἀρετήν· δύνανται ἅμα τοίνυν εἶναι ἐν τῷ αὐτῷ· λέγω δὲ εἶναι ἅμα τῇ ἀρετῇ, οὐ τῇ ἐνεργείᾳ τῆς ἀρετῆς· ἀδύνατον γὰρ οὕτως· ἀλλὰ τῇ ἕξει.

5. Πέμπτον, ὅτι οὐκ ἐν μόνῃ τῇ ἐνεργείᾳ ἐστὶ τὸ ἁμάρτημα· λέγεται γὰρ ἐν τετάρτῳ τῆς Ἰακώβου· „Τῷ γινώσκοντι τὸ ἀγαθὸν καὶ μὴ ποιοῦντι ἁμαρτία ἐστὶν αὐτῷ“. Ἀλλὰ τὸ μὴ ποιεῖν οὐ σημαίνει ἐνέργειαν. Δύναται ἄρα ἄνευ ἐνεργείας εἶναί τι ἁμάρτημα.

6. Ἕκτον, ὅτι καλῶς ὥρισται ἡ ἁμαρτία· λόγος, ἢ πρᾶξις, ἢ ἐπιθυμία ἐναντία τῷ αἰωνίῳ νόμῳ· τὸ γὰρ λόγος, ἢ πρᾶξις, ἢ ἐπιθυμία ἔστι τι τῇ οὐσίᾳ τῆς ἀνθρωπίνης ἐνεργείας προσῆκον οἷόν τι ὑλικόν· τὸ δὲ ἐναντίον | τῷ αἰωνίῳ νόμῳ τῷ τοῦ καλοῦ λόγῳ προσήκει οἷόν τι εἰδικὸν ἐν τῇ f. 131
ἁμαρτίᾳ. Ἔστι δὲ πρῶτος κανὼν τῶν ἀνθρωπίνων ἐνεργειῶν ὁ αἰώνιος νόμος, ὅς ἐστιν οἷον λόγος τοῦ Θεοῦ· προσεχὴς δὲ καὶ ὁμογενὴς αὐτὸς ὁ ἀνθρώπινος λόγος, οὗ ἀποχωρήσασα ἡ ἀνθρωπίνη ἐνέργεια, ἀσύμμετρός ἐστι καὶ πονηρά, ὥσπερ ἡ σύμμετρος ἀγαθὴ καὶ ἐνάρετος.

## LXXII. — Περὶ τῆς διακρίσεως τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι τὰ ἁμαρτήματα διαφέρουσιν εἴδει κατὰ τὰ ἀντικείμενα· πρὸς γὰρ τὸν τοῦ ἁμαρτήματος λόγον δύο συντρέχουσιν, τουτέστιν ἡ ἑκούσιος πρᾶξις καὶ τὸ ἄτακτον, ὅπερ ἐστὶν ἀποχώ-

22 Iac. 4, 17

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ρησις τοῦ θείου νόμου· ὧν θάτερον μὲν καθ' αὑτὸ παραβάλλεται πρὸς τὸν ἁμαρτάνοντα, ὃς σκοπεῖ τὴν τοιάνδε ὕλην ἐν τῇ τοιᾷδε ὕλῃ ἀποπληρῶσαι· ἡ δὲ ἀταξία κατὰ συμβεβηκὸς ἔχει πρὸς τὸν τοῦ ἁμαρτάνοντος σκοπόν· οὐδεὶς γὰρ τὸ κακὸν σκοπῶν ἐνεργεῖ, ὥς φησι Διονύσιος· ἕκαστον δὲ τοῦ εἴδους τυγχάνει διὰ τὸ καθ' αὑτό, ἀλλ' οὐ διὰ τὸ κατὰ συμβεβηκός· ἔξω γὰρ τοῦ λόγου τοῦ εἴδους τὰ κατὰ συμβεβηκός· καὶ διὰ τοῦτο τὰ ἁμαρτήματα εἴδει διακρίνονται κατὰ τὰς ἑκουσίους ἐνεργείας μᾶλλον ἢ κατὰ τὸ ἄτακτον τοῦ ἐν τῇ ἁμαρτίᾳ ὄντος· αἱ δὲ ἑκούσιαι ἐνέργειαι εἴδει διακρίνονται κατὰ τὰ ἀντικείμενα, ὡς ἐν τοῖς ἀνωτέρω εἴρηται.

2. Δεύτερον, ὅτι τὰ ψυχικὰ ἁμαρτήματα διακρίνονται τῶν σαρκικῶν· ὡς γὰρ εἴρηται, τὰ ἁμαρτήματα δέχονται τὰ εἴδη ἐκ τῶν ἀντικειμένων· πᾶν δὲ ἁμάρτημα συνίσταται ἐν ὀρέξει τινὸς μεταβλητοῦ ἀγαθοῦ, οὗ ἀτάκτως ὀρεγόμεθα, καὶ ἀκολούθως τοῦτο λαβόντες, ἐν τούτῳ ἡδόμεθα. Διπλῆ δέ ἐστιν ἡ ἡδονή· μία μὲν ψυχική, ἐν μόνῃ ἐπινοίᾳ τινὸς πράγματος ἐπιθυμίᾳ ἐχομένου, καὶ ταύτην δυνατὸν λέγειν ἡδονὴν πνευματικήν· ἄλλη δὲ σωματικὴ ἢ φυσική, ἥτις ἐν αὐτῇ τῇ σωματικῇ ἁφῇ τελειοῦται, ἣν f. 131v δυνατὸν λέγεσθαι σαρκικὴν ἡδονήν. | Οὕτω τοίνυν τὰ ἐν ἑκατέρᾳ ἡδονῇ τελειούμενα ἁμαρτήματα ἀπ' αὐτῆς προσαγορεύονται, ὥσπερ ἡ γαστριμαργία, ἐν τῇ τῶν σιτίων ἡδονῇ τελειουμένη, σαρκικόν ἐστιν ἁμάρτημα, καὶ ἡ ὑπερηφανία ἐν τῇ ἡδονῇ τῆς ἀτάκτου ὑπεροχῆς, πνευματικόν.

3. Τρίτον, ὅτι οὐ διακρίνονται τὰ ἁμαρτήματα εἴδει κατὰ τὰ αἴτια· φανερὸν γάρ ἐστιν, ὅτι αἱ τῶν πραγμάτων οὐσίαι κατὰ τὴν ὕλην καὶ τὸ εἶδος διακρίνονται, διότι ἡ ὑλικὴ καὶ εἰδικὴ αἰτία εἰς τὴν τοῦ πράγματος οὐσίαν ὁρῶσιν· αἱ δὲ κινήσεις καὶ αἱ ἐνέργειαι κατὰ τὸ ποιοῦν καὶ τὸ τέλος διαιροῦνται, διότι τὸ ποιοῦν καὶ τὸ τέλος ἰδίως εἰς ταύτας ἀφορῶσιν, διαφόρως μέντοι· αἱ μὲν γὰρ ποιητικαὶ φυσικαὶ ἀρχαὶ πρὸς τὰς αὐτὰς εἰσιν ὡρισμένως ἀεὶ ἐνεργείας, καὶ διὰ τοῦτο τὰ διάφορα εἴδη ἐν ταῖς φυσικαῖς ἐνεργείαις οὐ κατὰ τὰ ἀντικείμενα μόνον λαμβάνονται, ἅ εἰσι τέλη ἢ ὅροι, ἀλλὰ καὶ κατὰ τὰς ποιητικὰς ἀρχάς, ὥσπερ τὸ θερμαίνειν καὶ ψύχειν διακρίνονται εἴδει κατὰ τὸ θερμὸν καὶ ψυχρόν. Αἱ δὲ ποιητικαὶ ἀρχαὶ ἐν ταῖς ἑκουσίοις ἐνεργείαις, οἷαί εἰσιν αἱ τῶν ἁμαρτημάτων ἐνέργειαι οὐκ ἐξ ἀνάγκης εἰσὶ πρὸς ἕν, καὶ διὰ τοῦτο ἐκ μιᾶς ἀρχῆς ποιητικῆς ἢ κινητικῆς προΐασι διάφορα εἴδη ἁμαρτημάτων, ὥσπερ ἀπὸ τοῦ κακῶς ταπεινοῦντος φόβου δύναται προϊέναι τὸ τὸν ἄνθρωπον κλέπτειν, ἢ φονεύειν, ἢ καταλιμπάνειν τὴν παρατεθεῖσαν αὐτῷ ποίμνην· τὰ αὐτὰ δὲ καὶ ἐκ τοῦ ἔρωτος. Ὅθεν τὰ ἁμαρτήματα οὐ διαφέρουσιν εἴδει κατὰ τὰς ποιητικὰς αἰτίας, ἀλλὰ μόνον κατὰ τὴν διαφορὰν τῆς τελικῆς αἰτίας.

4. Τέταρτον, ὅτι οἰκείως διαιρεῖται τὰ ἁμαρτήματα εἰς τὸ πρὸς τὸν

38 *εἰς τὸ* sic A

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

θεόν, πρὸς τὸν πλησίον καὶ ἑαυτόν. Εἰ γὰρ καὶ τὸ ἁμαρτάνειν εἰς τὸν θεόν, καθόσον ἡ πρὸς τὸν Θεὸν τάξις περιέχει πᾶσαν τάξιν, κοινόν ἐστι παντὶ ἁμαρτήματι, καὶ διὰ τοῦτο οὐκ ἂν ἔδοξεν εἶναι μέρος, ἀλλὰ κατ' ἐκεῖνο ᾧπερ ἡ θεία τάξις ὑπερβαίνει τὰς ἄλλας δύο τάξεις, τὸ εἰς Θεὸν ἁμάρτημα ἴδιον ἁμαρτήματος γένος ἐστίν.

5. Πέμπτον, ὅτι ἡ κατὰ τὴν ἐνοχὴν διαίρεσις τῶν ἁμαρτημάτων οὐ f. 132 ποιεῖ διάφορα εἴδη ἁμαρτημάτων. Διπλῆ γάρ ἐστιν ἡ ἀταξία· μία μὲν κατὰ ἀναίρεσιν τῆς ἀρχῆς τῆς τάξεως· ἄλλη δὲ τό, σῳζομένης τῆς ἀρχῆς τῆς τάξεως, τὴν ἀταξίαν συμβαίνειν περὶ τὰ μετὰ τὴν ἀρχήν, ὥσπερ ἐν τῷ τοῦ ζῴου σώματι ποτὲ μὲν ἡ τῆς κράσεως ἀταξία πρόεισι μέχρι καὶ τοῦ φθαρῆναι τὴν ζωτικὴν ἀρχήν, καὶ τοῦτό ἐστι θάνατος· ποτὲ δέ, τῆς ζωτικῆς ἀρχῆς σῳζομένης, γίνεται ἀταξία τις περὶ τοὺς χυμούς, καὶ τότ' ἔστι νόσος. Ἀρχὴ δὲ τῆς ὅλης τάξεως ἐν τοῖς ἠθικοῖς τὸ ἔσχατον τέλος ἐστίν, ὅπερ οὕτως ἐστὶν ἐν τοῖς πρακτικοῖς ὡς ἡ ἀναπόδεικτος ἀρχὴ ἐν τοῖς θεωρητοῖς, ὡς λέγεται ἐν τῷ ἑβδόμῳ τῶν ἠθικῶν. Ὅθεν, ὅταν ἡ ψυχὴ μέχρι τοσούτου διὰ τῆς ἁμαρτίας ἀτακτῇ ὥστε καὶ τοῦ ἐσχάτου τέλους ἀποστραφῆναι, τουτέστι τοῦ Θεοῦ, ᾧ ζῶμεν δι' ἀγάπης, τότε τὸ θανάσιμον ἁμάρτημα γίνεται· ὅταν δὲ ἡ ἀταξία συμβαίνῃ μὴ περὶ τὴν ἀπὸ τοῦ Θεοῦ ἀποστροφήν, τότε συμβαίνει τὸ συγγνωστὸν ἁμάρτημα. Οὕτω γὰρ καὶ ἐν τοῖς σωματικοῖς ἡ μὲν τοῦ θανάτου ἀταξία, ἥ ἐστι κατὰ ἀναίρεσιν τῆς ζωτικῆς ἀρχῆς, ἀδιόρθωτός ἐστι κατὰ φύσιν· ἡ δὲ τῆς νόσου ἀταξία δύναται ἐπιδιορθωθῆναι διὰ τῆς ἔτι σῳζομένης ἀρχῆς ζωτικῆς. Τὸ δ' ὅμοιόν ἐστι καὶ ἐπὶ τῶν τῆς ψυχῆς. Καὶ γὰρ καὶ ἐν τοῖς θεωρητικοῖς τὸν μὲν περὶ τὰς ἀρχὰς πλανώμενον οὐκ ἔστι πεῖσαι· τὸν δὲ σῳζομένων τῶν ἀρχῶν ἀγνοοῦντα δυνατὸν δι' αὐτῶν τῶν ἀρχῶν ἐπανακαλέσασθαι. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν πρακτικῶν, ὁ τῷ ἁμαρτάνειν ἀποστρεφόμενος τοῦ ἐσχάτου τέλους, ὅσον κατὰ τὴν τοῦ ἁμαρτήματος φύσιν ἀνεπιδιόρθωτόν ἐστι τὸ τούτου ἁμάρτημα, καὶ διὰ τοῦτο λέγεται πρὸς θάνατον ἁμαρτάνειν, καὶ αἰωνίως ἐστὶ κολαστέος. Ὁ δὲ μὴ περὶ τὴν ἐκ Θεοῦ ἀποστροφὴν ἁμαρτάνων ἐξ αὐτοῦ τοῦ λόγου τῆς ἁμαρτίας ἐπιδιόρθωσιν ἂν δέξαιτο περὶ τὴν ἁμαρτίαν διὰ τὸ σῴζεσθαι τὴν ἀρχήν, καὶ διὰ τοῦτο | λέγεται συγγνώστως ἁμαρτάνειν. f. 132ᵛ

6. Ἕκτον, ὅτι τὸ τῆς ἀμελείας καὶ τῆς πράξεως ἁμάρτημα οὐ διαφέρει κατ' εἶδος· ὁ γὰρ φιλάργυρος καὶ τὰ ἀλλότρια ἁρπάζει, ὅπερ ἐστὶν ἁμαρτία κατὰ τὴν πρᾶξιν, καὶ ἐκ τῶν ἰδίων οὐ δίδωσιν οἷς δοῦναι δεῖ, ὅπερ ἐστὶν ἀμελείας ἁμάρτημα· ὥσπερ εἰς τὸ αὐτὸ εἶδος τοῦ φόνου ἀνήκει ἄγχειν, κατάσσειν, σφάττειν, εἰ καὶ αἱ πρὸς ταῦτα ἐνέργειαι εἴδει διαφέρουσι κατὰ τὸ τῆς φύσεως εἶδος, τουτέστιν ὑλικῶς λαμβανόμεναι, οὐ κατὰ τὴν πρὸς τὸ τέλος τάξιν. Καὶ ὁ γαστρίμαργος γὰρ πρὸς τὸ ἐμπιπλᾶν τὴν γαστέρα τάττει τό τε τῶν ἀναγκαίων πλέον ἐσθίειν καὶ τὰς νηστείας τὰς ὡρισμένας παραλιμπάνειν· καὶ ὁ φιλάργυρος εἰς ἕν, ὡς εἴρηται, τὸ συναγάγειν χρήματα,

ΙΩΑΝΝΙΝΑ 2006

τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων· ἀεὶ γὰρ ἐν τοῖς πράγμασιν ἡ ἀπόφασις ἔν τινι καταφάσει ἵδρυται, ἣ ἐστι τρόπον τινὰ ταύτης αἰτία. Ὅθεν κἂν τοῖς φυσικοῖς τοῦ αὐτοῦ ἐστι λόγου καὶ θερμαίνειν τὸ πῦρ καὶ μὴ ψύχειν.

7. Ἕβδομον, ὅτι δεόντως διῄρηται τὸ ἁμάρτημα εἰς τὸ τῆς καρδίας, τοῦ στόματος καὶ τοῦ ἔργου. Ἢ γὰρ λανθάνον ἐστίν, ἢ φανερόν· καὶ εἰ φανερόν, ἢ δηλοῦται μόνον, ἢ δηλούμενον καὶ πληροῦται. Εἰ δὲ τρεῖς βαθμοὺς τίθησιν Αὐγουστῖνος· ἕνα μέν, ὅταν ἡ σαρκικὴ αἴσθησις μολυσμῷ τινι συναντᾷ· ἕνα δέ, ὅταν τις μόνῃ τῇ τοῦ λογισμοῦ ἡδονῇ ἀρκεῖται· τρίτον, ὅταν συγκαταθῆται πρᾶξαί τι, ἀλλὰ οἱ τρεῖς οὗτοι βαθμοὶ εἷς εἰσι, κοινωνοῦντες ἐν τῷ λόγῳ τοῦ λανθάνοντος, καὶ εἰς τὴν τῆς καρδίας ἁμαρτίαν ἀνήκουσιν. Διαιροῦνται μέντοι γε ταῖς εἰρημέναις καὶ ἔνδον διαφοραῖς· διὸ καὶ τρεῖς βαθμοὶ γίνονται, ὁ τοῦ λογισμοῦ, ὁ τῆς ἡδονῆς καὶ ὁ τῆς συγκατάθεσεως.

Ἔτι, εἰ ὁ Γρηγόριος, ἐν τετάρτῳ τῶν ἠθικῶν, τέσσαρας βαθμοὺς ἁμαρτήματος τίθησιν, ὧν πρῶτός ἐστιν ἁμαρτία λανθάνουσα ἐν τῇ καρδίᾳ· δεύτερον, τὸ ἔξωθεν δημοσιεύεσθαι· τρίτον, τὸ καὶ ἔθει βεβαιότερον γίνεσθαι· τέταρτον, ὅταν μέχρι καὶ καταφρονήσεως τῆς θείας φιλανθρωπίας, ἢ καὶ ἀπογνώσεως ὁ ἄνθρωπος προΐῃ, ἀλλ᾽ εἰδέναι δεῖ, ὅτι τὸ τοῦ στόματος καὶ
f. 133 τοῦ ἔργου κοινωνοῦσιν ἐν τῇ δημοσιεύσει, | καὶ διὰ τοῦτο ὑφ᾽ ἓν ἀριθμοῦνται ὑπὸ τοῦ Γρηγορίου. Ὑπὸ δὲ τοῦ Ἱερωνύμου διακρίνονται διὰ τὸ ἐν μὲν τῷ τοῦ στόματος ἁμαρτήματι τὴν δήλωσιν εἶναι μόνον, καὶ ταύτην προηγουμένως σκοπεῖν τὸν ἁμαρτάνοντα· ἐν δὲ τῷ τοῦ ἔργου προηγουμένως μόνον τὴν πλήρωσιν εἶναι τοῦ ἔνδον λογισμοῦ τῆς καρδίας, τὴν δὲ φανέρωσιν ἕπεσθαι. Τὸ δὲ ἔθος καὶ ἡ ἀπόγνωσίς εἰσι βαθμοὶ ἑπόμενοι τῷ τελείῳ εἴδει τοῦ ἁμαρτήματος, ὥσπερ ἡ νεότης καὶ ἀκμὴ μετὰ τὴν τελείαν τοῦ ἀνθρώπου γένεσιν.

8. Ὄγδοον, ὅτι ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις διάφορα ποιοῦσι τῶν ἁμαρτημάτων τὰ εἴδη. Ἡ γὰρ ἐναντιότης διαφορά ἐστι κατ᾽ εἶδος, ὡς ἐν τῷ δεκάτῳ τῶν μετὰ τὰ φυσικά· τὰ δὲ καθ᾽ ὑπερβολὴν καὶ ἔλλειψιν διαφέροντα πάθη ἐναντία εἰσίν, ὡς ἀνελευθεριότης καὶ ἀσωτία διαφέρουσιν· ἄρα κατ᾽ εἶδος.

Ἔτι, ὁ Φιλόσοφος φησὶν ἐν ὀγδόῳ τῶν ἠθικῶν, ὅτι οἱ ὑποτιθέμενοι μὴ εἶναι διάφορα εἴδη φιλίας διὰ τὸ λέγεσθαι μᾶλλον καὶ ἧττον οὐχὶ κακῷ πεπιστεύκασι σημείῳ· εἰ γὰρ τὸ μᾶλλον καὶ ἧττον μὴ εἰσὶν αἰτία τῆς τῶν εἰδῶν διαφορᾶς, ἀλλ᾽ ἕπονται πολλάκις τοῖς διαφόροις εἴδεσιν· ὥσπερ τοῦ ἀέρος τὸ πῦρ κουφότερον λέγομεν· οὕτω καὶ τὸ ὑπερβαίνειν τὸν λόγον, ἢ ἀποπίπτειν αὐτοῦ τῶν διαφόρων ἁμαρτημάτων εἰσίν, καθόσον ἕπονται διαφόροις κινητικοῖς.

9. Ἔννατον, ὅτι τὰ πάθη καὶ τὰ ἁμαρτήματα κατὰ τὰς διαφόρους περιστάσεις εἴδει διαφέρουσιν, οὕτω τοῦ Φιλοσόφου λέγοντος ἐν τρίτῳ καὶ τετάρτῳ τῶν ἠθικῶν.

ΙΩΑΝΝΙΝΑ 2006

## LXXIII. — Περὶ τῆς πρὸς ἄλληλα παραβολῆς τῶν ἁμαρτημάτων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι οὐ πάντα τὰ πάθη ἢ ἁμαρτήματα συμπεπλεγμένα εἰσὶν ἀλλήλοις, ὡς αἱ ὑπὸ μίαν ἀρχήν, τὸν τοῦ Θεοῦ ἔρωτα, ἀρεταὶ συμπεπλεγμέναι εἰσίν, διότι ἄλλως ἔχει ὁ τοῦ κατ᾽ ἀρετὴν ποιοῦντος σκοπός, καὶ ἄλλως ὁ τοῦ ἁμαρτάνοντος πρὸς τὸ ἀποστρέφεσθαι τοῦ λόγου· τοῦ μὲν γὰρ ὁ σκοπός ἐστι τυγχάνειν τοῦ κανόνος τοῦ λόγου, | f. 133v καὶ διὰ τοῦτο πᾶσαι ἀρεταὶ ἔχουσι συμπλοκὴν πρὸς ἀλλήλας ἐν τῷ ὀρθῷ λόγῳ τῶν πρακτέων, ὅς ἐστιν ἡ φρόνησις διὰ τὸ πασῶν τὸν σκοπὸν εἰς τὸ αὐτὸ φέρεσθαι· ὁ δὲ τοῦ ἁμαρτάνοντος σκοπὸς οὐκ ἔστι τὸ ἀποχωρεῖν τοῦ κατὰ λόγον, ἀλλὰ μᾶλλον τὸ ὥσπερ ἐπί τι ἀγαθὸν φέρεσθαι τὸ ἐφετόν, ἀφ᾽ οὗ ἔχει τὸ εἶδος. Τὰ δ᾽ ἀγαθὰ ἐφ᾽ ἃ φέρεται ὁ τοῦ ἁμαρτάνοντος σκοπός, τοῦ λόγου ἀποχωρῶν, διάφορά εἰσι, μηδεμίαν συμπλοκὴν πρὸς ἄλληλα ἔχοντα καὶ ἐναντία μὲν οὖν πολλάκις. Ἐπεὶ τοίνυν τὰ ἁμαρτήματα καὶ τὰ πάθη κατ᾽ ἐκεῖνο ἔχουσι τὸ εἶδος, πρὸς ὃ ἐπιστρέφονται, φανερὸν ὡς κατ᾽ ἐκεῖνο, ὃ τελειοῖ τῶν ἁμαρτημάτων τὰ εἴδη, οὐδεμίαν ἔχουσι πρὸς ἄλληλα συμπλοκήν· οὐ γὰρ τελεῖται τὰ ἁμαρτήματα ἐν τῇ πρὸς τὴν ἑνότητα προσχωρήσει ἀπὸ τοῦ πλήθους, ἀλλὰ τοὐναντίον ἐν τῷ ἀφίστασθαι μὲν τῆς ἑνότητος, τῷ δὲ πλήθει προσχωρεῖν.

Εἰ δὲ ἐν τῷ δευτέρῳ τῆς Ἰακώβου λέγεται· „Ὃς ἂν ὅλον τὸν νόμον τηρήσας, καὶ πταίσῃ ἐν ἑνί, ἔνοχος γέγονε πάντων“, ἀλλ᾽ ἐκεῖ ὁ Ἰάκωβος διαλέγεται περὶ τῆς ἁμαρτίας οὐ κατὰ τὴν ἐπιστροφήν, ᾗ διακρίνονται, ἀλλὰ κατὰ τὴν ἀποστροφήν, καθόσον δηλονότι ὁ ἄνθρωπος ἁμαρτάνων ἀποχωρεῖ τῆς ἐντολῆς τοῦ νόμου· πᾶσαι δὲ αἱ τοῦ νόμου ἐντολαὶ ἀπὸ τοῦ αὐτοῦ καὶ ἑνός εἰσιν, ὡς αὐτὸς αὐτόθι φησίν, καὶ διὰ τοῦτο ὁ αὐτὸς θεὸς καταφρονεῖται ἐν παντὶ ἁμαρτήματι, καὶ κατὰ τοῦτο τὸ μέρος φησίν· „Ὁ ἐνὶ προσκρούσας γέγονε πάντων ἔνοχος“, ἐπεὶ δηλονότι τῷ ἐν ἑνὶ ἁμαρτάνειν ἐμπίπτει τῇ τῆς τιμωρίας ἐνοχῇ διὰ τὸ καταφρονεῖν τοῦ Θεοῦ, οὗ ἐκ τῆς καταφρονήσεως πρόεισι πάντων τῶν ἁμαρτημάτων ἡ ἐνοχή.

2. Δεύτερον, ὅτι οὐ πάντα ἴσα τὰ ἁμαρτήματα. Ὁ γὰρ Κύριος ἔφη πρὸς τὸν Πιλᾶτον ἐν τῷ κατὰ Ἰωάννην· „Ὁ παραδιδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει“. Περὶ τοῦτο οἱ Στωϊκοί, οἷς καὶ ὁ Τούλλιος ἀκολουθεῖ ἐδόξαζον ἴσα εἶναι πάντα τὰ ἁμαρτήματα· ἐθεώρουν γὰρ τὴν ἁμαρτίαν κατὰ μόνην τὴν στέρησιν, καθόσον ἐστὶν ἀποχώρησις | f. 134 τοῦ λόγου· ὅθεν ἁπλῶς νομίζοντες μηδεμίαν στέρησιν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, ὑπέθεντο πάντα ἴσα εἶναι. Ἀλλ᾽ εἴ τις ἀκριβῶς θεωροίη, διπλοῦν εὑρήσει τῶν στερήσεων γένος. Ἔστι μὲν γὰρ ἁπλῆ καὶ ψιλὴ στέρησις, ἡ ἐν τῷ ἐστερῆσθαι συνίσταται, ὥσπερ ὁ θάνατος καὶ τὸ σκότος καὶ αἱ τοιαῦται

---

20 Iac. 2, 16 31 Ioh. 19, 11



Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στερήσεις οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον διὰ τὸ μηδὲν καταλείπεσθαι τῆς ἀντικειμένης ἕξεως. Ἔστι δέ τις ἄλλη στέρησις οὐχ ἁπλῆ, ἀλλά τι καὶ παρυποκρατοῦσα τῆς ἀντικειμένης ἕξεως, ἥτις μᾶλλον ἐν τῷ φθείρεσθαι ἢ ἐν τῷ ἐφθάρθαι συνίσταται, ὥσπερ ἡ νόσος, ἡ στερεῖ τῆς δεούσης τῶν χυμῶν συμμετρίας, οὕτω μέντοι ὥστε καὶ τῆς συμμετρίας τι καταλείπεσθαι· ἄλλως γὰρ οὐκ ἂν ἔμενε ζῶν τὸ ζῷον· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ αἴσχους καὶ ἄλλων πολλῶν. Αὗται δὲ αἱ στερήσεις ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον κατὰ τὴν ἐναπομένουσαν ἐναντίαν ἕξιν· πολὺ γὰρ διαφέρει πρὸς τὴν νόσον ἢ τὸ αἶσχος πότερον πλέον ἢ ἔλαττον τῆς δεούσης τῶν χυμῶν ἢ μελῶν συμμετρίας ἐστίν, ἡ ἀποχώρησις. Οὕτω δὴ καὶ ἐν τοῖς ἁμαρτήμασιν ἡ τῆς δεούσης πρὸς τὸν λόγον συμμετρίας στέρησις συμβαίνει ὡς μὴ παντάπασιν ἀναιρεῖσθαι τὴν τάξιν τοῦ λόγου· ἄλλως γάρ, εἰ τὸ κακὸν ἀκέραιον εἴη, καὶ ἑαυτὸ ἀναιρεῖ, ὡς ἐν τῷ τετάρτῳ τῶν ἠθικῶν λέγεται· οὐ γὰρ ἂν ἠδύνατο μένειν ἡ τῆς ἐνεργείας οὐσία, ἢ ἡ τοῦ ἐνεργοῦντος ὄρεξις, εἰ μή τι τῆς τοῦ λόγου τάξεως κατελείπετο, καὶ διὰ τοῦτο ζητεῖται καὶ πρὸς τὴν τοῦ ἁμαρτήματος βαρύτητα πότερον πλέον ἢ ἔλαττον ἀποχωρεῖ τῆς τοῦ λόγου ὀρθότητος.

3. Τρίτον, ὅτι ἡ τῶν ἁμαρτημάτων βαρύτης διακρίνεται κατὰ τὰ ἀντικείμενα· εἰ γὰρ καὶ ὕλη ἐστὶ τὸ ἀντικείμενον περὶ ἣν ὁρίζεται ἡ ἐνέργεια, ἔχει μέντοι λόγον τέλους, καθόσον ὁ τοῦ πράττοντος σκοπὸς φέρεται
f. 134v ἐπ' ἐκεῖνο· τὸ δὲ εἶδος τῆς ἠθικῆς ἐνεργείας ἠρτῆσθαι τοῦ τέλους εἴρηται.

4. Τέταρτον, ὅτι ἡ τῶν ἁμαρτημάτων βαρύτης διαφέρει κατὰ τὴν τῶν ἀρετῶν ἀξίαν αἷς τὸ ἁμάρτημα ἀντίκειται. | Φησὶ γὰρ ὁ Φιλόσοφος, ὅτι τὸ χείριστον τῷ ἀρίστῳ ἐναντίον· ἄριστον δὲ ἐν τοῖς ἠθικοῖς ἡ μεγίστη ἐστὶν ἀρετή, χείριστον δὲ τὸ βαρύτατον ἁμάρτημα.

5. Πέμπτον, ὅτι τὰ σαρκικὰ ἁμαρτήματα ἡττοννός εἰσι μέμψεως ἢ τὰ πνευματικά, ὅπερ οὐχ οὕτω δεῖ νοεῖσθαι ὡς παντὸς πνευματικοῦ ἁμαρτήματος χείρονος ὄντος παντὸς σαρκικοῦ, ἀλλ' ὅτι ᾗ πνευματικὸν ᾗ σαρκικοῦ χεῖρόν ἐστι, τῶν ἄλλων ἐπίσης ὄντων, πρῶτον μὲν κατὰ τὸ ὑποκείμενον, ὅτι τοῦ πνεύματός ἐστι τὸ πρὸς τὸν Θεὸν ἐπιστρέφεσθαι, τὰ δὲ ἁμαρτήματα ἀποστρέφεσθαι· τὰ δὲ σαρκικὰ τελειοῦνται ἐν τῇ ἡδονῇ τῆς σαρκικῆς ὀρέξεως, ἧς ἐστι κυρίως ἐπὶ τὸ σωματικὸν ἀγαθὸν ἐπιστρέφεσθαι, καὶ διὰ τοῦτο τὸ σαρκικὸν ἁμάρτημα, ᾗ τοιοῦτον, πλέον ἔχει ἐπιστροφῆς, διὰ τοῦτο καὶ μᾶλλον προσκολλᾷ, δυσαπαλλακτότερον ὄν· τὸ δὲ ἀσώματον ἁμάρτημα πλέον ἔχει ἀποστροφῆς, ἐξ ἧς πρόεισιν ὁ λόγος τῆς πονηρίας, καὶ διὰ τοῦτο τὸ πνευματικὸν ἁμάρτημα, καθὸ τοιοῦτον, μείζονός ἐστι πονηρίας· δεύτερον, κατ' ἐκεῖνο εἰς ὃν γίνεται ἡ ἁμαρτία· τὸ μὲν σαρκικόν, ᾗ τοιοῦτον, εἰς τὸ ἴδιον σῶμά ἐστιν, ὅπερ ἧττόν ἐστιν ἀγαπητέον κατὰ τὴν τῆς ἀγάπης τάξιν ἢ τὸν Θεὸν καὶ τὸν πλησίον, εἰς οὓς ἁμαρτάνομεν διὰ τῶν πνευματικῶν ἁμαρτημάτων· τρίτον, ἐκ τοῦ κινοῦντος· τὰ

γὰρ σαρκικὰ σφοδρότερον ἔχουσι τὸ κινητικόν, τουτέστιν αὐτὴν τὴν τῆς σαρκὸς ἐπιθυμίαν ἐμπεφυκυῖαν ἡμῖν· οὗ δὲ ἰσχυρότερον τὸ κινοῦν, ἔλαττον τὸ ἁμάρτημα.

6. Ἕκτον, ὅτι ἡ τοῦ ἁμαρτήματος βαρύτης ἐστὶ κατὰ τὴν αἰτίαν αὐτοῦ· πολλαπλασιαζομένης γὰρ τῆς αἰτίας, δεῖ πολλαπλασιάζεσθαι καὶ τὸ ἀποτέλεσμα τὸ ἐν τῷ τοῦ ἁμαρτήματος γένει, ὥσπερ καὶ ἐν παντὶ γένει, διχῶς λαμβάνεσθαι ἔστι τὴν αἰτίαν, [πρῶτον] μέν, τὴν ἰδίαν καὶ καθ' αὑτήν, καὶ ἔστι τοῦ ἁμαρτάνειν τοιαύτη αἰτία ἡ θέλησις· παραβάλλεται γὰρ πρὸς τὴν τοῦ ἁμαρτάνειν ἐνέργειαν ὥσπερ δένδρον πρὸς καρπόν, ὡς ἐν τῷ κατὰ Ματθαῖον· „Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν", καὶ ἡ τοιαύτη αἰτία ὅσῳ μείζων ἐστί, τοσούτῳ καὶ τὸ ἁμάρτημα | ποιεῖ βαρύτερον, f. 135 τουτέστιν ὅσῳ ἡ θέλησις μείζων ἐστὶν ἐν τῷ ἁμαρτάνειν. Ἄλλαι δὲ αἰτίαι λαμβάνονται ἐξωτερικαί, ἐξ ὧν ἡ θέλησις κινεῖται πρὸς τὸ ἁμαρτάνειν, καὶ αὗται διχῶς· ἢ γὰρ ἐνάγουσι τὴν θέλησιν πρὸς τὸ ἁμαρτάνειν κατὰ τὴν αὐτῆς τῆς θελήσεως τάξιν, ὥσπερ τὸ τέλος ἴδιον ἀντικείμενον ὂν τῆς θελήσεως, καὶ οὕτω βαρύτερον ἁμαρτάνει οὗτινος ἡ θέλησις σκοπῷ χείρονος τέλους ῥέπει πρὸς τὸ ἁμαρτάνειν· ἢ κινοῦσι τὴν θέλησιν παρὰ τὴν φύσιν καὶ τὴν τάξιν αὐτῆς, ᾗ πέφυκεν ἐλευθέρως κινεῖσθαι καὶ ὑφ' ἑαυτῆς κατὰ τὴν κρίσιν τοῦ λόγου, καὶ διὰ τοῦτο τὰ αἴτια τὰ ἐλαττοῦντα τὴν κρίσιν τοῦ λόγου, ὥσπερ ἡ ἄγνοια, ἢ τὰ ἐλαττοῦντα τὸ αὐτεξούσιον τῆς θελήσεως, ὥσπερ ἡ ἀσθένεια, ἢ ἡ βία, ἢ ὁ φόβος, ἤ τι τοιοῦτον, ἐλαττοῦσι τὸ ἁμάρτημα ὥστε, εἰ παντελῶς ἐστιν ἡ πρᾶξις ἀκούσιος, μηδὲ λόγον ἁμαρτήματος ἔχειν.

7. Ἕβδομον, ὅτι ἡ περίστασις βαρύτερον ποιεῖ τὸ ἁμάρτημα, εἴ γε ἡ τῆς περιστάσεως ἄγνοια ἐλαττοῖ τὸ ἁμάρτημα καὶ συγγνωστὸν ποιεῖ, ὡς ἐν τρίτῳ τῶν ἠθικῶν λέγεται. Ὥσπερ γὰρ τὴν τοῦ πράγματος ἀρετὴν οὐκ ἐκ μόνου τοῦ εἴδους αὐτοῦ κρίνομεν ἀλλὰ καὶ ἐξ ἄλλου τινὸς συμβεβηκότος, οὕτω καὶ τὴν τῆς ἐνεργείας πονηρίαν οὐκ ἐκ τοῦ εἴδους τῆς ἐνεργείας μόνον κρίνομεν, ἀλλὰ καὶ ἐκ τῆς περιστάσεως.

8. Ὄγδοον, ὅτι τὸ ἁμάρτημα αὔξεται διὰ τὸ μᾶλλον εἶναι βλαβερόν· φησὶ γὰρ Αὐγουστῖνος ἐν τρίτῳ τῶν περὶ αὐτεξουσίου, ὅτι, τοῦ πάθους ἀντικειμένου τῇ φύσει, τοσοῦτον τῇ τῶν παθῶν πονηρίᾳ προστίθεται, ὅσον ἐλαττοῦται τοῦ τῆς φύσεως ἀκεραίου· ἀλλ' ἡ τοῦ ἀκεραίου τῆς φύσεως ἐλάττωσις βλάβη ἐστί· τοσοῦτον ἄρα τὸ ἁμάρτημα βαρύτερον, ὅσῳ καὶ ἡ βλάβη μείζων.

9. Ἔννατον, ὅτι τὸ ἁμάρτημα χεῖρον γίνεται διὰ τὴν ἀξίαν τοῦ προσώπου εἰς ὃν ἁμαρτάνεται. Ἐν γὰρ τῇ τρίτῃ τῶν Βασιλειῶν· „Τὰ θυσιαστήριά σου κατέστρεψαν καὶ τοὺς προφήτας σου μαχαίρᾳ ἀπέκτειναν"·

10 Matth. 7, 18 37 III Reg. 19, 14



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 135v | καὶ ἐν ἑβδόμῳ τοῦ Μιχαίου· „Υἱὸς ὑβρίζει πατέρα καὶ θυγάτηρ ἐπανίσταται κατὰ τῆς μητρὸς αὐτῆς“· καὶ ἐν τριακοστῷ ἕκτῳ τοῦ Ἰώβ· „Ὁ λέγων τῷ βασιλεῖ· ἀποστάτα, ὁ καλῶν τοὺς ἡγεμόνας ἀσεβεῖς“. Ἡ τοῦ προσώπου ἄρα ἕξις εἰς ὃν ἁμαρτάνεται βαρύτερον ποιεῖ τὸ ἁμάρτημα, εἴτε δοῦλος τοῦ Θεοῦ εἴη, εἴτε συγγενής, εἴτε ἀξίᾳ ὑπερέχων. Εἰ δὲ ἧττον ὑπὸ τῆς ὑπενεχθείσης ἀδικίας βλάπτεται ὁ σπουδαῖος πρᾶξιν αὐτὴν ὑποφέρων, ἀλλ' ὁ τὸν σπουδαῖον ἀδικῶν ὅσον τὸ ἐπ' αὐτῷ, καὶ ἔνδον καὶ ἔξω τοῦτον ταράττει· τοῦ δὲ μὴ τὸν σπουδαῖον ἔνδον ταράττεσθαι τὸ ἐκείνου ἀγαθόν ἐστιν αἴτιον, ὅπερ οὐκ ἐλαττοῖ τὸ τοῦ ἀδικοῦντος ἁμάρτημα.

10. Δέκατον, καὶ τὸ τοῦ ἁμαρτάνοντος πρόσωπον βαρύτερον ποιεῖ τὸ ἁμάρτημα, εἴπερ ἐκ προνοίας καὶ βουλῆς ἁμαρτάνοι, πρῶτον μὲν διὰ τὸ τοὺς μείζονας ῥᾷον δύνασθαι ἀνθίστασθαι ταῖς ἁμαρτίαις, ὥσπερ οἱ ὑπερέχοντες σοφίᾳ καὶ ἐπιστήμῃ· ὅθεν ὁ Κύριος φησὶν ἐν τῷ δωδεκάτῳ τῷ κατὰ Λουκᾶν, ὅτι· „Ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιήσας δαρήσεται πολλάς“· δεύτερον, διὰ τὴν ἀχαριστίαν, διὰ τὸ πᾶν ἀγαθόν, ᾧ τίς ἐστι μέγας, δῶρον εἶναι Θεοῦ, περὶ ὃν ὁ ἄνθρωπος τῷ ἁμαρτάνειν ἀχάριστος γίνεται, κατὰ τὸ τρίτον τῆς Σοφίας· „Δυνατοὶ δυνατῶς ἐτασθήσονται“, ὁποίᾳ ἂν δυνάμει ὑπερέχοιεν· τρίτον, διὰ τὴν ἰδίαν ἐναντιότητα τῆς πράξεως τοῦ ἁμαρτήματος πρὸς τὸ τοῦ προσώπου μέγεθος, ὥσπερ ὅταν ὁ ἄρχων βιάζηται τὸ δίκαιον, φύλαξ ὀφείλων εἶναι τούτου, καὶ ὁ ἱερεὺς πορνεύῃ, σωφροσύνην ὑποσχόμενος· τέταρτον, διὰ τὸ παράδειγμα ἢ τὸ σκάνδαλον, ἐπεί, ὥς φησιν ὁ Γρηγόριος ἐν τῷ ποιμενικῷ, λίαν εἰς παράδειγμα τὸ ἁμάρτημα πρόκειται, ὅταν διὰ τὴν αἰδῶ τοῦ βαθμοῦ ὁ ἁμαρτωλὸς τιμᾶται· εἰς γὰρ τὴν τῶν πολλῶν γνῶσιν τὰ τῶν μεγάλων ἁμαρτήματα προϊόντα, ἀγανακτεῖν ποιοῦσιν ἅπαντας. Εἰ δὲ διὰ τὴν τῆς ἀνθρωπίνης φύσεως ἀσθένειαν γίνοιτο τὸ ἁμάρτημα, ἧττον λογίζεται τῷ μείζονι διὰ τὸ ἧττον μὲν αὐτὸ ἀμελεῖν ἐπέχειν, παντάπασι δὲ ἀποφεύγειν
f. 136 | μὴ συγχωρεῖν τὴν ἀνθρωπίνην ἀσθένειαν.

## LXXIV. — Περὶ τοῦ ὑποκειμένου τῆς ἁμαρτίας.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ θέλησίς ἐστιν ὑποκείμενον τοῦ ἁμαρτήματος, Αὐγουστίνου λέγοντος ἐν τῷ περὶ τῶν διορθώσεων βιβλίῳ, ὅτι θέλησις, ᾗ ἁμαρτάνομεν καὶ ᾗ ζῶμεν ὀρθῶς· ἄλλως τε ὅσαι τῶν ἐνεργειῶν οὐ μεταβαίνουσιν εἰς τὴν ἔξωθεν ὕλην, ἵνα ᾖ αὐτὴ αὐταῖς ὑποκείμενον, ἀλλὰ μένουσι ἐν τῷ ἐνεργοῦντι, ὡς αἱ ἠθικαί, εἴτε ἀγαθαί, εἴτε κακαί, ὑποσκείμενον ἔχουσι τὴν δύναμιν ἔνδον, ἥ ἐστι τῆς ἐνεργείας ἀρχή· αὕτη δέ ἐστιν ἡ θέλησις διὰ τὸ ἴδιον εἶναι τῶν ἠθικῶν ἐνεργειῶν τὸ ἑκουσίους εἶναι.

1 Mich. 7, 6 2 Iob, 34, 18 14 Luc. 12, 47 17 Sap. 6, 6

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

2. Δεύτερον, ὅτι οὐ μόνη ἡ θέλησις τοῦ ἁμαρτήματος ὑποκείμενον, εἰ μὴ κατὰ τὸν τρόπον· τῇ μὲν γὰρ θελήσει μόνῃ ἁμαρτάνομεν ὡς προτέρῳ κινοῦντι, ταῖς δὲ ἄλλαις δυνάμεσιν ὡς ὑπ' αὐτῆς κινουμέναις.

3. Τρίτον, ἑπομένως ὅτι ἐν τῇ αἰσθητικῇ ὀρέξει ἐστὶν ἁμάρτημα, ὅτι καὶ αἱ ταύτης ἐνέργειαι δύνανται ἑκούσιοι εἶναι διὰ τὸ τῇ θελήσει κινεῖσθαι· ἐν δὲ τῷ ἑκουσίῳ καὶ ἀτάκτῳ ὁ τῆς ἁμαρτίας λόγος συνίσταται, εἰ καὶ ἐν τῇ ὀρέξει τῶν ἀλόγων οὐκ ἔστιν ἁμάρτημα, διότι οὐχ ὑπείκει τῷ λόγῳ ἡ ἐκείνων ὄρεξις, καὶ διὰ τοῦτο οὐδὲ ἀρχὴ ἑκουσίου ἐνεργείας δύναται εἶναι.

4. Τέταρτον, ὅτι ἐν τῇ αἰσθητικῇ ὀρέξει οὐ δύναται εἶναι θανάσιμον ἁμάρτημα· ὥσπερ γὰρ ἡ τῆς σωματικῆς ζωῆς τὴν ἀρχὴν φθείρουσα ἀταξία σωματικοῦ θανάτου αἰτία ἐστίν, οὕτω καὶ ἡ τῆς πνευματικῆς ζωῆς τὴν ἀρχὴν φθείρουσα ἀταξία, ὅπερ ἐστὶ τὸ ἔσχατον τέλος, αἰτία ἐστὶ θανάτου πνευματικοῦ, ὅ ἐστι τὸ θανάσιμον ἁμάρτημα, ὡς προείρηται· τὸ δὲ τάττειν τι εἰς τέλος οὐκ ἔστι τῆς αἰσθητικῆς ὀρέξεως, ἀλλὰ τοῦ λόγου μόνου· ἡ δὲ τοῦ τέλους ἀταξία ἐκείνου μόνου ἐστίν, οὗ ἐστι καὶ τὸ τάττειν εἰς τὸ τέλος· ὅθεν τὸ θανάσιμον ἁμάρτημα ἀδύνατον εἶναι ἐν τῇ αἰσθητικῇ ὀρέξει, ἀλλ' ἐν τῷ λόγῳ μόνον.

5. Πέμπτον, ὅτι ἐν τῷ λόγῳ ἐστίν· ὃ δῆλον ἐκ τῶν πρότερον εἰρημένων καὶ ἐξ Αὐγουστίνου | λέγοντος ἐν δωδεκάτῳ περὶ Τριάδος, ὅτι f. 136ᵛ
ἁμάρτημά ἐστι καὶ ἐν τῷ ταπεινοτέρῳ καὶ ἐν τῷ ὑψηλοτέρῳ λόγῳ. Εἰ δὲ δοκεῖ ἡ τοῦ λόγου ἀσθένεια, ἥτις ἐστὶν ἡ ἄγνοια, μᾶλλον ὑπὲρ τοῦ ἁμαρτήματος παραιτεῖσθαι, τοῦτο μὲν ἀληθές ἐστιν, εἰ θεωροῖτο ἡ τοιαύτη ἀσθένεια περὶ ὃ μὴ δύναται γινώσκειν, καὶ ἐφ' ὧν οἱ μαινόμενοι ποιοῦσιν· εἰ δὲ περὶ ὃ δύναται καὶ ὀφείλει, οὐ παντάπασιν ὑπὲρ τοῦ ἁμαρτήματος παραιτεῖται ἡ ἀσθένεια ἡ τοιαύτη τοῦ λόγου· ἁμαρτία μὲν οὖν ἐστιν· ἀλλ' ἡ ἀσθένεια, ἥ ἐστιν ἐν μόνῳ τῷ τὰς ἄλλας δυνάμεις ἰθύνειν, οὐ τὰς οἰκείας, τὰς πρὸς τὸ ἴδιον ἀντικείμενον, ἀεὶ εἰς ἁμαρτίαν λογίζεται· ταύτῃ γὰρ δύναται βοηθεῖν τῇ ἰδίᾳ ἐνεργείᾳ.

6. Ἕκτον, ὅτι τὸ τῆς χρονίας ἡδονῆς ἁμάρτημα ἐν τῷ λόγῳ ἐστὶν ὡς ἐν πρώτῳ κινοῦντι, εἰ καὶ ἐν τῇ ὀρεκτικῇ δυνάμει ὡς ἐν ἀρχῇ προσεχεῖ.

7. Ἕβδομον, ὅτι τὸ ἁμάρτημα τῆς εἰς τὴν πρᾶξιν συγκαταθέσεως ἐν τῷ ὑψηλοτέρῳ λόγῳ ἐστίν· τὸ γὰρ συγκατατίθεσθαι ἐνέργεια μέν ἐστι τῆς ὀρεκτικῆς δυνάμεως, ἀλλ' οὐχ ἁπλῶς ἀλλ' ἑπομένως τῇ ἐνεργείᾳ τοῦ λόγου κρίνοντος καὶ ψηφιζομένου· τούτῳ γὰρ ἡ συγκατάθεσις ὁρίζεται τῷ τὴν θέλησιν φέρεσθαι ἐπὶ τὸ κριθὲν ὑπὸ τοῦ λόγου· ὅθεν τὴν συγκατάθεσιν δυνατὸν ἀποδίδοσθαι καὶ τῇ θελήσει καὶ τῷ λόγῳ.

8. Ὄγδοον, ὅτι ἡ εἰς τὴν ἡδονὴν συγκατάθεσις θανάσιμον ἁμάρτημα. Περὶ γὰρ τούτου τινὲς διαφόρως ὑπέλαβον· κοινότερον δὲ καὶ καθολικότερον ἡ δόξα τῶν ὑπολαβόντων οὐ συγγνωστὸν ἀλλὰ θανάσιμον εἶναι.

Δεῖ μέντοι γε διαιρεῖν, ὅτι ὁ περὶ πορνείας τυχὸν λογιζόμενος ἐν δυσὶ δύναται ἥδεσθαι· ἕνα μὲν τρόπον ἐν αὐτῷ τῷ λογισμῷ· ἕτερον δὲ τρόπον περὶ τῆς πορνείας ἣν ἐλογίζετο. Ὁ μὲν οὖν λογισμὸς αὐτὸς καθ' αὑτὸν οὐκ ἔστι θανάσιμον ἁμάρτημα, μᾶλλον μὲν οὖν καὶ πολλάκις συγγνωστόν ἐστι μόνον, οἷον ὅταν τις ἀνωφελῆ διαλογίζηται· ποτὲ δὲ καὶ ἄνευ ἁμαρτίας παντάπασιν, οἷον ὅταν τις χρησίμως λογίζηται περὶ αὐτῆς, οἷον ὅταν βούληται περὶ αὐτῆς διδάξαι ἢ διαλεχθῆναι· ὅθεν οὐδ' ἡ τῆς τοιαύτης ἡδονῆς, τῆς ἐπὶ τῷ τοιούτῳ λογισμῷ συγκατάθεσις θανάσιμόν ἐστιν ἁμάρ-
f. 137 τημα· | τὸ δὲ λογιζόμενόν τινα περὶ πορνείας ἥδεσθαι ἐπ' αὐτῇ τῇ ἐνεργείᾳ, περὶ ἧς ἐλογίζετο, συμβαίνει ἐκ τοῦ τὴν ἐκείνου διάθεσιν ἐπὶ ταύτην τὴν ἐνέργειαν ῥέπειν· ὅθεν τό τινα τῇ ἡδονῇ ταύτῃ συγκατατίθεσθαι οὐδὲν ἄλλο ἐστὶν ἢ συγκατατίθεσθαι τῷ τὴν αὐτοῦ διάθεσιν ῥέπειν ἐπὶ πορνείαν· οὐδεὶς γὰρ ἥδεται εἰ μὴ ἐν τῷ ὁμοειδεῖ, τῇ τούτου ὀρέξει· τὸ δέ τινα μετὰ κρίσεως αἱρεῖσθαι τὴν αὐτοῦ διάθεσιν ὁμοιοῦσθαι τοῖς οὖσι καθ' αὑτὰ ἁμαρτήμασι θανασίμοις θανάσιμόν ἐστιν· καὶ οὕτω δύνανται συμφωνεῖν ἑκατέρων αἱ δόξαι.

9. Ἔνατον, ὅτι ἐν τῷ ὑψηλοτέρῳ λόγῳ δύναται συγγνωστὸν ἁμάρτημα εἶναι· ὅταν γὰρ ἀναιρῆται ἡ τάξις τοῦ ὑψηλοτέρου λόγου πρὸς τὸ ἴδιον ἀντικείμενον, ὅπερ ἐστὶν οἱ ἀΐδιοι λόγοι, ἀεί ἐστιν θανάσιμον ἁμάρτημα· ὅτε δὲ ἡ ἀταξία μὴ περὶ τούτους ἐστίν, συγγνωστόν ἐστιν.

10. Ἰστέον ὅτι τὸ ἐναντίον τοῖς λόγοις ἁμάρτημα τοῖς αἰωνίοις, οἵ εἰσιν ἀντικείμενον τοῦ ὑψηλοτέρου λόγου, κατὰ μὲν τὸ γένος αὐτοῦ θανάσιμόν ἐστιν· δύναται μέντοι συγγνωστὸν εἶναι διὰ τὸ ἀτελὲς τῆς ἀθρόας ἐνεργείας.

## LXXV. — Περὶ τῶν αἰτιῶν τῶν ἁμαρτημάτων.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι ἡ ἁμαρτία ἔχει αἰτίαν, ἐπεὶ καὶ περὶ τὸ γινόμενον.

Ἔτι δ' ἁμάρτημα ἐνέργειά τις ὂν ἄτακτος, ᾗ μὲν ἐνέργεια, ἔχει αἰτίαν καθ' αὑτό· κατὰ δὲ τὴν ἀταξίαν ἔχει αἰτίαν ὃν τρόπον καὶ ἡ ἀπόφασις ἢ ἡ στέρησις δύναται ἔχειν· ἀποφάσεως δέ τινος διττὴ ἡ αἰτία· πρῶτον μὲν ἡ ἀπουσία αὐτῆς τῆς αἰτίας, ὥσπερ τοῦ σκότους ἡ τοῦ ἡλίου ἀπουσία· ἔπειτα ἡ αἰτία τῆς καταφάσεως, ᾗ ἕπεται ἡ ἀπόφασις, ἔστι κατὰ συμβεβηκὸς αἰτία τῆς ἑπομένης ἀποφάσεως, ὥσπερ τὸ πῦρ τῷ αἴτιον εἶναι θέρμης κατὰ προηγούμενον λόγον ἑπομένως γίνεται αἴτιον τῆς στερήσεως τοῦ ψυχροῦ, ὧν τὸ πρῶτον ἀρκεῖ πρὸς τὴν ἁπλὴν ἀπόφασιν. Ἀλλ' ἐπεὶ ἡ ἀταξία τοῦ ἁμαρτήματος, ὡς πᾶν ἕτερον κακόν, οὐκ ἔστιν ἁπλῆ ἀπόφασις,
f. 137v ἀλλὰ στέρησις ὧν τις πέφυκεν | ἔχειν καὶ ὀφείλει ἔχειν, ἀνάγκη τὴν τοιαύτην ἀταξίαν ἔχειν αἰτίαν ποιητικὴν κατὰ συμβεβηκός· ᾧ γὰρ πέφυκεν ἐνεῖναι καὶ ὀφείλει, οὐδέποτ' ἂν ἀπῆν εἰ μὴ διά τινος αἰτίας κωλυούσης· πᾶσα δὲ αἰτία κατὰ συμβεβηκὸς εἰς τὴν καθ' αὑτὸ αἰτίαν ἀνάγεται.

Ἐπεὶ τοίνυν τὸ ἁμάρτημα κατὰ μὲν τὴν ἀταξίαν ἔχει αἰτίαν κατὰ συμβεβηκός, κατὰ δὲ τὴν ἐνέργειαν ἔχει αἰτίαν ποιητικὴν καθ' αὑτήν, ἀνάγκη τὴν ἀταξίαν τοῦ ἁμαρτήματος ἐξ αὐτῆς εἶναι τῆς αἰτίας τῆς ἐνεργείας. Οὕτω τοίνυν ἡ θέλησις, στερουμένη τῆς εὐθύτητος τοῦ κανόνος τοῦ λόγου καὶ τοῦ θείου νόμου καὶ σκοποῦσά τι πρόσκαιρον ἀγαθόν, αἰτία μέν ἐστι καθ' αὑτὴν τοῦ ἁμαρτήματος· τῆς δὲ περὶ τὴν ἐνέργειαν ἁμαρτίας, κατὰ συμβεβηκὸς καὶ παρὰ τὸν σκοπόν· ἡ γὰρ ἀταξία πρόεισιν εἰς τὴν ἐνέργειαν διὰ τὸ μὴ εἶναι τὴν θέλησιν εὐθεῖαν.

2. Δεύτερον, ὅτι τὸ ἁμάρτημα ἔχει ἔνδον αἰτίαν, καὶ ἡ αἰτία ἐστὶν ἡ θέλησις, ἀεὶ μὲν ἐνοῦσα τῇ αὐτῇ αὐτῇ, οὐκ ἀεὶ δὲ γινομένη αἰτία τοῦ ἁμαρτήματος, ἐπεὶ δυνάμει οὖσα αἰτία, ἄγεται εἰς ἐνέργειαν τοιαύτην διὰ τῶν κινήσεων τοῦ αἰσθητικοῦ μέρους πρῶτον, καὶ τοῦ λόγου ἑπομένως· διὰ γὰρ τὸ προκεῖσθαί τι ὡς ἐφετὸν κατ' αἴσθησιν καὶ τὴν αἰσθητικὴν ὄρεξιν ῥέπειν ἐπ' αὐτό, ἀφίσταται πολλάκις ὁ λόγος τῆς τοῦ προσήκοντος κανόνος θεωρίας, καὶ οὕτως ἡ θέλησις προάγει ἐνέργειαν ἁμαρτήματος.

3. Τρίτον, ὅτι τὸ ἁμάρτημα ἔξωθεν αἰτίαν ἔχει. Ἐν γὰρ τριακοστῷ πρώτῳ τῶν Ἀριθμῶν γέγραπται· „Οὐχ οὗτοί εἰσιν οἱ ἀπατήσαντες τοὺς υἱοὺς Ἰσραὴλ καὶ παραβῆναι ποιήσαντες ἐπὶ τῇ ἁμαρτίᾳ Βελφεγώρ"; Ἀλλ' ἐκ τοῦ τὰ ἔξωθεν πρὸς τὴν ἁμαρτίαν κινοῦντα μὴ ἱκανῶς καὶ ἐξ ἀνάγκης πρὸς ταύτην ἐνάγειν, ἕπεται καταλειπέσθαι ἐφ' ἡμῖν τὸ ἁμαρτάνειν καὶ μή.

4. Τέταρτον, ὅτι ἔστιν ἁμάρτημα ἁμαρτήματος αἴτιον. Φησὶ γὰρ ὁ Γρηγόριος ἐπὶ τῷ Ἰεζεκιήλ· „Τὸ μὴ θᾶττον διὰ τῆς μετανοίας ἐξαλειφόμενον ἁμάρτημα καὶ ἁμάρτημά ἐστι καὶ αἴτιον ἁμαρτήματος".

Ἔτι, τὸ ἁμάρτημα ὡς ἐνέργεια ἔχει αἰτίαν καὶ κατὰ τὰ τέσσαρα τῶν αἰτιῶν γένη· | πρῶτον μὲν κατὰ τὸν τῆς ποιητικῆς ἢ κινητικῆς αἰτίας f. 138
λόγον καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός· κατὰ συμβεβηκὸς μέν, ὥσπερ τὸ τὸ κωλῦον ἀφαιροῦν κατὰ συμβεβηκὸς λέγεται κινεῖν· ὑπὸ γὰρ μιᾶς ἐνεργείας ἁμαρτήματος ἀποβάλλων ὁ ἄνθρωπος τὴν χάριν, ἢ τὴν ἀγάπην, ἢ τὴν αἰσχύνην, ἢ τι ἕτερον ἀφέλκον αὐτὸν τοῦ ἁμαρτήματος, ἐκ τούτου εἰς ἑτέραν ἁμαρτίαν ἐμπίπτει, καὶ οὕτω τὸ πρῶτον ἁμάρτημα αἴτιόν ἐστι τοῦ δευτέρου κατὰ συμβεβηκός· καθ' αὑτὸ δέ, ὥσπερ ὅταν διὰ μιᾶς ἐνεργείας ἁμαρτήματος διατίθηται ὁ ἄνθρωπος πρὸς τὸ ῥᾷον ἑτέραν ἁμαρτήματος ἐνέργειαν ποιῆσαι· αἱ γὰρ ἐνέργειαι διαθέσεων καὶ ἕξεων αἰτίαι γίνονται κινουσῶν πρὸς τὰς ὁμοειδεῖς ἐνεργείας. Κατὰ δὲ τὸ γένος τῆς ὑλικῆς αἰτίας ἁμάρτημα ἁμαρτήματος αἴτιον γίνεται, καθόσον προκατασκευάζει τούτου τὴν ὕλην, ὥσπερ ἡ πλεονεξία δίδωσιν ὕλην τῇ ἔριδι, ἥτις ὡς ἐπὶ τὸ πλεῖστον τῇ συναγωγῇ τῶν χρημάτων ἐπισυμβαίνει. Κατὰ δὲ τὸ γένος

17 Num. 31, 16

Ε.Υ.Δ της ς.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς τελικῆς αἰτίας, καθόσον ἕνεκα τέλους μιᾶς ἁμαρτίας ἕτερον ἁμάρτημα ποιεῖ τις, ὥσπερ τις ἐπὶ χρήμασι χειροτονῶν διὰ κενὴν δόξαν, ἢ τὴν πορνείαν, ἢ τὴν κλοπήν· καὶ ἐπεὶ τὸ ἦθος ἐν τοῖς ἠθικοῖς ἀπὸ τοῦ τέλους λαμβάνεται, ἕπεται ἁμάρτημα ἁμαρτήματος καὶ εἰδικὸν αἴτιον εἶναι· ἐν γὰρ τῇ τῆς πορνείας ἐνεργείᾳ τῇ διὰ τὴν κλοπὴν γινομένῃ ἡ μὲν πορνε ὥσπερ τι ὑλικόν ἐστιν, ἡ δὲ κλοπὴ ὥσπερ τι εἰδικόν.

## LXXVI. — Περὶ τῆς αἰτίας τοῦ ἁμαρτήματος κατὰ τὸν λόγον, ἢ περὶ τῆς ἀγνοίας.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι ἡ ἄγνοιά ἐστιν αἰτία ἁμαρτήματος οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, ὥσπερ τὸ ἀφαιροῦν τὸ κωλῦον ἢ ἡ ἀφαίρεσις τοῦ κωλύοντος· ἔστι γὰρ στέρησις ἐπιστήμης τῆς τελειούσης τὸν λόγον, ὃς κωλύει τὴν τοῦ ἁμαρτήματος ἐνέργειαν, καθόσον ἰθυντικὸς τῶν ἀνθρωπίνων πράξεων.

Δεῖ δὲ θεωρεῖν, ὅτι ὁ λόγος διπλῇ τινι ἐπιστήμῃ ἄγει τὰς ἀνθρωπίνας πράξεις· καὶ καθόλου, καὶ μερικῇ. Βουλευόμενος γὰρ περὶ τῶν πρακτέων, f. 138v χρῆταί τινι συλλογισμῷ, οὗτινος συμπέρασμά ἐστι | κρίσις, ἢ αἵρεσις, ἢ ἐνέργεια· αἱ δὲ ἐνέργειαι ἐν τοῖς μερικοῖς εἰσίν· ὅθεν τὸ συμπέρασμα τοῦ πραγματικοῦ συλλογισμοῦ μερικόν ἐστιν· τὸ δὲ μερικὸν συμπέρασμα οὐ συμπεραίνεται μὴ μεσιτευούσης προτάσεώς τινος μερικῆς, ὥσπερ ὁ ἄνθρωπος κωλύεται τοῦ πατροκτονεῖν τῷ γινώσκειν μὲν καθόλου μὴ δεῖν ἀποκτείνειν τὸν πατέρα, γινώσκειν δὲ τοῦτον εἶναι πατέρα· ἑκατέρου δὲ ἡ ἄγνοια δύναται εἶναι αἰτία τοῦ πατρικοῦ φόνου, τουτέστι τῆς καθόλου ἀρχῆς, ἥ ἐστι κανών τις τοῦ λόγου, καὶ τῆς μερικῆς περιστάσεως. Ὅθεν δῆλον, ὡς οὐ πᾶσα τοῦ ἁμαρτάνοντος ἄγνοια δύναται εἶναι αἰτία τοῦ ἁμαρτήματος, ἀλλ' ἡ ἀναιροῦσα μόνη τὴν ἐπιστήμην τὴν κωλύουσαν τὴν τῆς ἁμαρτίας ἐνέργειαν· ὅθεν εἴ τινος θέλησις οὕτω διέκειτο ὡς μὴ ἂν ἀποστῆναι τῆς πατροφονίας, εἰ καὶ πατέρα τοῦτον ᾔδει, ἡ ἄγνοια τοῦ πατρὸς οὐκ ἔστι τούτῳ αἰτία τοῦ ἁμαρτήματος, ἀλλὰ σύνεστι τῷ ἁμαρτήματι, καὶ διὰ τοῦτο ὁ τοιοῦτος οὐ δι' ἄγνοιαν ἁμαρτάνει, ἀλλ' ἀγνοῶν ἁμαρτάνει, ὡς ὁ Φιλόσοφος ἐν τρίτῳ λέγει τῶν ἠθικῶν.

2. Δεύτερον, ὅτι ἡ ἄγνοια ἁμαρτία ἐστί, εἴπερ κολάσεως ἀξιοῦται, ὡς ἐν τεσσαρακαιδεκάτῳ τῆς πρὸς Κορινθίους· „Εἴ τις ἀγνοεῖ, ἀγνοηθήσεται".

3. Τρίτον, ὅτι οὐ παντελῶς ἡ ἄγνοια ὑπὲρ τοῦ ἁμαρτήματος παραιτεῖται· οὐ γὰρ πᾶσα ἄγνοια αἰτία ἐστὶ τοῦ ἀκουσίου· ἡ γὰρ δι' ἀμέλειαν ἄγνοια ἑκούσιός ἐστι, καθ' ἣν παραλιμπάνεταί τι τῶν ὀφειλόντων ῥηθῆναι, ἢ πραχθῆναι, ἢ ἐπιθυμηθῆναι πρὸς τὸ τὴν ὀφειλομένην ἡμῖν γνῶσιν περιγενέσθαι.

33 I Cor. 14, 38

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

4. Τέταρτον, ὅτι ἔλαττον ἡ ἄγνοια τὸ ἁμάρτημα, ὡς ἐν τῷ πρώτῳ τῆς πρὸς Τιμόθεον πρώτης· „Ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα“.

## LXXVII. — Περὶ τῆς κατὰ τὸ αἰσθητικὸν αἰτίας τοῦ ἁμαρτήματος.

1. Περὶ τοῦτο δείκνυται πρῶτον, ὅτι ἡ θέλησις κινεῖται ὑπὸ τοῦ πάθους τῆς αἰσθητικῆς ὀρέξεως. Λέγεται γὰρ ἐν τῷ τρισκαιδεκάτῳ τοῦ Δανιήλ· „Ἡ ἐπιθυμία ἀνέτρεψε τὴν καρδίαν σου“.

2. Δεύτερον, ὅτι δυνατὸν τὸν λόγον ὑπὸ τοῦ πάθους νικᾶσθαι παρὰ τὴν | αὐτοῦ ἐπιστήμην. Ἐν γὰρ ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους φησὶν ὁ f. 139 Ἀπόστολος· „Ὁρῶ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με εἰς τὸν νόμον τῆς ἁμαρτίας“. Ὁ δὲ ἐν τοῖς μέλεσι νόμος ἡ ἐπιθυμία ἐστίν, αὕτη δέ ἐστι πάθος.

Ἰστέον ὅτι δόξα τοῦ Σωκράτους ἦν, ὡς ἐν ἑβδόμῳ τῶν ἠθικῶν λέγεται, τὴν ἐπιστήμην ὑπὸ τοῦ πάθους μηδέποτε κινηθῆναι δύνασθαι· ὅθεν ὑπετίθετο καὶ πάσας τὰς ἀρετὰς ἐπιστήμας εἶναι, καὶ πάσας τὰς ἁμαρτίας, ἀγνοίας· ᾧ δοκεῖ συμφωνεῖν καὶ τὸ ἐν ἑνδεκάτῳ τῶν Παροιμιῶν · „Πλανῶνται οἱ ἐργαζόμενοι τὸ κακόν“. Ἀλλ᾽ ἐπεὶ τῇ πείρᾳ φαίνεται πολλὰ ἐναντία πράττειν τοῖς ἐγνωσμένοις καλοῖς καὶ ἐν τῷ Λουκᾷ λέγεται· „Ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ μὴ ποιήσας δαρήσεται πολλάς“ καὶ ἐν τῷ ἐσχάτῳ τῆς Ἰακώβου· „Τῷ εἰδότι τὸ ἀγαθὸν καὶ μὴ ποιοῦντι ἁμαρτία ἐστὶν αὐτῷ“, ἀληθὲς μὲν ὁ Σωκράτης εἶπεν ἀμηγέπη· δεῖ δὲ διακρίνειν· ἐπεὶ γὰρ ὁ ἄνθρωπος πρὸς τὸ ὀρθῶς ζῆν διπλῇ ἐπιστήμῃ ἰθύνεται, τουτέστι καθόλου καὶ μερικῇ, ἡ ἑκατέρας ἀσθένεια ἀρκετή ἐστι πρὸς τὸ κωλύειν τὴν τοῦ λόγου ὀρθότητα καὶ τῆς θελήσεως, ὡς εἴρηται. Ἐνδέχεται τοίνυν τινὰ γινώσκειν μὲν τὸ καθόλου, οἷον ὅτι μηδεμία πορνεία χρὴ ἐπιχειρεῖν, τὴν δὲ πρᾶξιν ταύτην ἀγνοεῖν, ὅτι πορνεία ἐστίν. Ἔτι, ἐνδέχεται γινώσκειν τι καθ᾽ ἕξιν, οὐ μὴν τοῦτο καὶ ἐνεργείᾳ θεωρεῖν· τοῦτο δὲ ποτὲ μὲν συμβαίνει ἐκ μόνου τοῦ ἀσθενεῖν τὸν σκοπόν, οἷον ὅταν ὁ εἰδὼς γεωμετρίαν οὐ σκοπεῖ θεωρεῖν τὰ τῆς γεωμετρίας συμπεράσματα, ἃ ῥᾴδιον αὐτῷ θεωρεῖν, εἰ βούλοιτο· ποτὲ δὲ διά τι κώλυμα ἐπιόν, οἷον ἀσχολίαν, ἢ σώματος ἀσθένειαν· καὶ τοῦτον τὸν τρόπον ὁ ἐν πάθει ὢν οὐ θεωρεῖ ἐν τῷ μερικῷ ὅπερ καθόλου ἐπίσταται, καθόσον τὸ πάθος κωλύει τὴν τοιαύτην θεωρίαν τριχῶς· | πρῶτον μὲν κατά τινα ἀφελκυσμόν, ὡς προείρη- f. 139ᵛ ται· δεύτερον, κατ᾽ ἐναντιότητα διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον τὸ πάθος κινεῖν ἐπὶ τοὐναντίον οὗ ἔχει ἡ καθόλου ἐπιστήμη· τρίτον, διά τινα μεταβολὴν σωματικήν, ὑφ᾽ ἧς ὁ λόγος δεσμεῖται τρόπον τινα, ὡς μὴ ἐλευθέρως εἰς τὴν ἐνέργειαν προϊέναι, ὥσπερ ὡς ὕπνος καὶ μέθη μεταβολῇ τινι σωματικῇ

2 I Tim. 1, 13   8 Dan. 13, 56   11 Rom. 7, 23   17 Prov. 14, 22   19 Luc. 12, 47

Σ.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γενόμενα δεσμοῦσι τὴν χρῆσιν τοῦ λόγου· καὶ ὅτι τοῦτ' ἐν τοῖς παθήμασι συμβαίνει, δῆλον ἐκ τοῦ πολλάκις, τῶν παθῶν ἐπιτεινομένων, τὸν ἄνθρωπον παντελῶς ἀποβάλλειν τὴν χρῆσιν τοῦ λόγου· πολλοὶ γὰρ δι' ὑπερβολῆς ἔρωτος ἢ ὀργῆς εἰς μανίαν μετεστράφησαν. Καὶ τοῦτον τὸν τρόπον τὸ πάθος ἕλκει τὸν λόγον ἐπὶ τὸ κρίνειν ἐν τῷ μερικῷ ἐναντίον τῇ καθόλου ἐπιστήμῃ.

3. Τρίτον, ὅτι τὸ ἀπὸ πάθους ἁμάρτημα ἐξ ἀσθενείας δεῖ λέγεσθαι· ὁ γὰρ Κικέρων ἐν τοῖς Τουσκικοῖς ζητήμασι τὰ τῆς ψυχῆς πάθη νόσους καλεῖ· νόσος δὲ καὶ ἀσθένεια, ταὐτόν.

4. Τέταρτον, ὅτι ἡ φιλαυτία ἀρχή ἐστι παντὸς ἁμαρτήματος· φησὶ γὰρ Αὐγουστῖνος ἐν ἑνδεκάτῳ περὶ τῆς πόλεως τοῦ Θεοῦ· „Ἡ φιλαυτία μέχρι τῆς εἰς τὸν Θεὸν καταφρονήσεως τὴν πόλιν Βαβυλῶνος οἰκοδομεῖ". Ἡ μὲν γὰρ τεταγμένη ἑαυτοῦ ἀγάπη φυσική ἐστι καὶ ὀφειλομένη, τὸ θέλειν ἑαυτῷ δηλονότι τὸ προσῆκον ἀγαθόν· ἡ δὲ ἄτακτος ἑαυτοῦ ἀγάπη, ἡ καὶ μέχρι τῆς εἰς Θεὸν καταφρονήσεως προάγουσα, ὑποκεῖται αἰτία εἶναι τοῦ ἁμαρτήματος.

5. Πέμπτον, ὅτι δεόντως εἴρηται ἐν τῷ πρώτῳ τῆς Ἰωάννου δευτέρας ὅτι „Παντὸς ἁμαρτήματος αἰτία ἡ ἐπιθυμία ἐστὶ σαρκός, ἡ ἐπιθυμία ὀφθαλμῶν, ἡ ζωῆς ὑπερηφάνια". Ἐκεῖ προστίθησιν ὅτι „ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται".

6. Ἕκτον, ὅτι διὰ τὸ πάθος γίνεται κουφότερον τὸ ἁμάρτημα· ἔστι γὰρ τὸ πάθος τῆς ἐπιθυμίας πειρασμὸς σαρκός· ὅσῳ δέ τις μείζονι ὑποκατακλίνοιτο πειρασμῷ, τοσούτῳ καὶ ἧττον ἁμαρτάνει.

7-8. Ἕβδομον, ὅτι τὸ ἀπὸ πάθους ἁμάρτημα δύναται εἶναι θανάσιμον, τοῦ Ἀποστόλου ἐν ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους λέγοντος ὅτι „τὰ πάθη τῶν ἁμαρτημάτων κατεργάζονται ἐν τοῖς μέλεσιν ἡμῶν πρὸς τὸ καρποφορεῖν τῷ θανάτῳ". Εἰ δὲ δοκεῖ ἅπαν τὸ ἐξ ἀσθενείας συγγνωστὸν εἶναι, διότι ἐν ἑαυτῷ ἔχει τὴν τῆς συγγνώμης αἰτίαν, τὸ δὲ ἀπὸ πάθους ἁμάρτημα
f. 140 ἐξ ἀσθενείας εἶναι, ῥητέον ὅτι τριχῶς λέγεταί τι συγγνωστόν· | ἢ κατὰ τὴν αἰτίαν, ὅτι ἔχει δηλαδὴ αἰτίαν τινὰ συγγνώμης ἐλαττοῦσαν τὸ ἁμάρτημα· ἢ ἀπὸ τῆς ἐκβάσεως, ὥσπερ ἅπαν ἁμάρτημα διὰ μετανοίας γίνεται συγγνωστόν, τουτέστι συγγνώμην εὑρίσκον· ἢ κατὰ τὸ γένος αὐτοῦ, ὡς ὁ ἀργὸς λόγος, καὶ τοῦτο μόνον τὸ συγγνωστὸν ἀντίκειται τῷ θανασίμῳ· ἡ δὲ ἀντίθεσις πρόεισι κατὰ τὸ πρῶτον.

---

18 I Ioh. 2, 16 25 Rom. 7, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006